На празник Свете Петке

27 октобар 2019 лета Господњег

---

ипођакон Зоран Бобић

Епархија

новограчаничко-средњезападноамеричка



Μετὰ τὴν ἀπόλυσιν τοῦ Μεσονυκτικοῦ ὁ Ἱερεὺς ἐκ φωνεῖ·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νύν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν.

ΙΕΡΕΥΣ: Δόξα σοὶ ὁ Θεός, δόξα σοί.

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν ὁ θησαυρός τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

ΑΝΑΓΝΩΣΤΗΣ: Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς (γ΄).

Δόξα Πατρὶ… Καὶ νῦν…

Παναγία Τριάς, ἐλέησον ἡμᾶς…

Κύριε ἐλέησον (γ΄)

Δόξα Πατρὶ... Καὶ νῦν…

Πάτερ ἡμῶν...

ΙΕΡΕΥΣ

Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.





После Полуноћнице свештеник

Благословен Бог наш свагда, сада и увек и у векове векова.

ЧТЕЦ: Амин.

СВЕШТЕНИК: Слава Теби, Боже наш, слава Теби.

Царе Небески, Утешитељу, Душе Истине, Који си свуда присутан и све испуњаваш, Ризницо добара и Животодавче, дођи и усели се у нас, и очисти нас од сваке нечистоте, и спаси, Благи, душе наше.

ЧТЕЦ: Свети Боже, Свети Моћни, Свети Бесмртни, помилуј нас. (3 пута.)

Слава и Сада...

Пресвета Тројице, помилуј нас...

Господе, помилуј. (3 пута.)

Слава и Сада...

Оче наш...

СВЕШТЕНИК

Јер је Твоје царство, и сила, и слава Оца и Сина и Светога Духа, сада и увек и у векове векова.

ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν.
Κύριε ἐλέησον (ιβ')
Δόξα Πατρὶ… Καὶ νῦν…
Δεῦτε προσκυνήσωμεν… (γ')

ΨΑΛΜΟΣ 19

Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως...

ΨΑΛΜΟΣ 20

Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται...
Ἅγιος ὁ Θεός... (γ')
Δόξα Πατρὶ… Καὶ νῦν…
Παναγία Τριάς, ἐλέησον ἡμᾶς...
Κύριε ἐλέησον (γ')
Δόξα Πατρὶ… Καὶ νῦν…
Πάτερ ἡμῶν...

ΙΕΡΕΥΣ

Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΑΝΑΓΝΩΣΤΗΣ

Σῶσον, Κύριε, τὸν λαόν σου…
Δόξα Πατρὶ...
Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως...
Καὶ νῦν...
Προστασία φοβερὰ καὶ ἀκαταίσχυντε...

ΙΕΡΕΥΣ

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἐλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον (γ'). καί μετά ἀπό κάθε αἴτηση.



ЧТЕЦ: Амин.
Господе, помилуј. (12 пута.)
Слава и Сада...
Ходите, поклонимо...

ПСАЛМ 19

Услишиће те Господ у дан жалости....

ПСАЛМ 20

Господе, силом Твојом узвеселиће се цар...
Свети Боже... (3 пута.)
Слава и Сада...
Пресвета Тројице...
Господе, помилуј. (3 пута.)
Слава и Сада...
Оче наш ....

СВЕШТЕНИК

Јер је Твоје Царство и сила и слава, Оца и Сина и Светога Духа, сада и увек и у векове векова.

ЧТЕЦ

Спаси, Господе, народ Твој...
Слава...
Узневши се на Крст...
И сада...
Заштито силна и непостидна...

СВЕШТЕНИК

Помилуј нас, Боже, по великој милости Твојој, молимо Ти се, услиши и помилуј.

ХОР: Господе, помилуј. (3 пута.) после сваке прозбе.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.
Ἔτι δεόμεθα ὑπὲρ τοῦ πατρὸς καὶ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος) καὶ πάσης της ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.
Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τους αἰῶνας των αἰώνων.
ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν. Ἐν ὀνόματι Κυρίου, εὐλόγησον, Πάτερ.
ΙΕΡΕΥΣ
Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ καὶ ἀδιαι ρέτῳ Τριάδι, πάντοτε, νύν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶ νας τῶν αἰώνων.
ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν.
Καὶ λεγομένου τοῦ Ἑξάψαλμος, ὁ Ἱερεὺς ἀναγινώσκει τὰς ἑωθινὰς εὐχάς· πρῶτον μὲν ἱστάμενος πρὸ τῆς ἁγίας Τραπέζης καὶ ἀπὸ δὲ τοῦ Δόξα Πατρί, μετὰ τοὺς τρεῖς πρώτους ψαλμούς, ἐξέλθεται διὰ τῆς βορείου πύλης καὶ ἵσταται πρὸ τῆς εἰκόνας τοῦ Χριστοῦ.

ΕΥΧΗ Α΄

Εὐχαριστοῦμεν σοι, Κύριε, ὁ Θεὸς ἡμῶν, τῷ ἐξαναστήσαντι ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν, καὶ ἐμβαλόντι εἰς τὸ στόμα ἡμῶν λόγον αἰνέσεως, τοῦ προσκυνεῖν καὶ ἐπικαλεῖσθαι τὸ ὄνομά σου τὸ ἅγιον· καὶ δεόμεθα τοῖς σοῖς οἰκτιρμοῖς, οἷς πάντοτε ἐχρήσω περὶ τὴν ἡμετέραν ζωήν. Καὶ νῦν ἐξαπόστειλον τὴν βοήθειάν σου ἐπὶ τοὺς ἑστῶτας



Још се молимо за сву браћу и за све пра-вославне хришћане.
Још се молимо за благоверни и христољубиви православни род наш и за Високопреосвештеног Високопреосвештеног Архиепископа /или: Митрополита, или: Преосвештеног Епископа/ нашега (име).
Јер си милостив и човекољубив Бог, и Теби славу узносимо, Оцу и Сину и Светоме Духу, сада и увек и у векове векова .
ХОР: Амин. Именом Господњим благослови, оче.

СВЕШТЕНИК
Слава Светој и Јединосуштној и Животворној и Нераздељивој Тројици, свагда, сада и увек и у векове векова.
ЧТЕЦ: Амин.
Онда се чита шестопсалмије са сваком пажњом и страхом Божјим, јер разговарамо са самим Христом Богом нашим, молећи се за своје грехе.
За време читања прва три псалма, свештеник гологлав. говори тихо јутрење молитве, стојећи пред часном Трпезом, а за друга три пред Царским дверима.

МОЛИТВА 1

Благодаримо Ти, Господе Боже наш, што си нас подигао са постеља наших и ставио у уста наша реч хвале, да бисмо се клањали и призивали свето име твоје. И молимо се твојој доброти, коју си свагда показивао у нашем животу; и сада пошаљи помоћ твоју онима што стоје пред лицем свете славе твоје и очекују од Тебе обилну милост; и дај им, да служећи Теби свагда са страхом и љубављу, славе неисказану благост твоју.

πρὸ προσώπου τῆς ἁγίας δόξης σου και ἀπεκδεχομένους τὸ παρὰ σου πλούσιον ἔλεος καὶ δὸς αὐτοῖς μετὰ φόβου καὶ ἀγάπης πάντοτε σοι λατρεύειν, αἰνεῖν, ὑμνεῖν, προσκυνεῖν, τὴν ἀνεκδιήγητόν σου ἀγαθότητα.
Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ Β΄

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα ἡμῶν πρὸς σέ, ὁ Θεὸς ἡμῶν, διότι φῶς τὰ προστάγματά σου ἐπι τῆς γῆς· δικαιοσύνην καὶ ἁγιασμὸν ἐπιτελεῖν ἐν τῷ φόβῳ σου, συνέτισον ἡμᾶς· σὲ γὰρ δοξάζομεν τὸν ὄντως ὄντα Θεὸν ἡμῶν. Κλῖνον τὸ οὖς σου καὶ ἐπάκουσον ἡμῶν· καὶ μνήσθητι, Κύριε, τῶν συμπαρόντων καὶ συνευχομένων ἡμῖν πάντων κατ᾽ ὄνομα καὶ σῶσον αὐτοὺς τῇ δυνάμει σου· εὐλόγησον τὸν λαόν σου καὶ ἁγίασον τὴν κληρονομίαν σου· εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν, ἡμῶν καὶ παντὶ τῷ λαῷ σου.
Ὅτι ηὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ Γ΄

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα ἡμῶν πρὸς σέ ὁ Θεὸς, διότι φῶς τὰ προστάγματα σου. Δίδαξον ἡμᾶς, ὁ Θεὸς, τὴν δικαιοσύνην σου, τὰς ἐντολάς σου καὶ τὰ δικαιώματά σου· φώτισον τοὺς



Јер Теби приличи свака слава,част и поклоњење, Оцу и Сину и Светоме Духу, сада и увек и у векове векова. Амин.

## МОЛИТВА 2

До ноћи јутрењује дух наш к Теби, Боже наш, јер су заповести твоје светлост на земљи. Уразуми нас да у страху твоме правду и светињу творимо, јер Тебе славимо, истинитог Бога нашег. Приклони ухо твоје и услиши нас, и помени, Гоподе, поименце све присутне који се с нама моле, и спаси их силом твојом. Благослови народ твој и посвети наслеђе твоје. Даруј мир свету твоме, црквама твојим, свештеницима, и свему народу твоме.
Јер је благословено и прослављено свечасно и величанствено име твоје, Оца и Сина и Светога Духа, сада и увек и у векове векова. Амин.

## МОЛИТВА 3

До ноћи јутрењује дух наш к Теби, Боже, јер су заповести твоје светлост. Научи нас, Боже, правди твојој, заповестима твојим и наредбама твојим. Просвети очи ума нашега, да не бисмо заспали у гресима на смрт. Одагнај сваки мрак из срдаца наших.

ὀφθαμοὺς τῶν διανοιῶν ἡμῶν, μήποτε ὑπνώσωμεν ἐν ἁμαρτίαις εις θάνατον· ἀπέλασον πάντα ζόφον ἀπὸ τῶν καρδιῶν ἡμῶν· χάρισαι ἡμῖν τὸν τῆς δικαιοσύνης ἥλιον καὶ ἀνεπηρέαστον τὴν ζωὴν ἡμῶν διαφύλαξον ἐν τῇ σφραγῖδι τοῦ ἁγίου σου Πνεύματος· κατεύθυνον τὰ διαβήματα ἡμῶν εἰς ὁδὸν εἰρήνης· δὸς ἡμῖν ἰδεῖν τὸν ὄρθρον καὶ τὴν ἡμέραν ἐν ἀγαλλιάσει, ἵνα σοι τὰς ἑωθινὰς ἀναπέμπωμεν εὐχάς.
Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Χορὸς Ἀμήν.

## ΕΥΧΗ Δ΄

Δέσποτα ὁ Θεὸς, ὁ ἅγιος καὶ ἀκατάληπτος, ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὁ ἀναπαύσας ἡμᾶς ἐν τῷ τῆς νυκτὸς ὕπνῳ καὶ διαναστήσας πρὸς δοξολογίαν καὶ ἱκεσίαν τῆς σῆς ἀγαθότητος, δυσωπούμενος ὑπο τῆς ἰδίας σου εὐσπλαγχνίας, πρόσδεξαι ἡμᾶς καὶ νῦν προσκυνοῦντάς σε καὶ κατὰ δύναμιν εὐχαριστοῦντάς σοι καὶ δώρησαι ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα· ἀνάδειξον ἡμᾶς υἱοὺς φωτὸς καὶ ἡμέρας καὶ κληρονόμους τῶν αἰωνίων σου ἀγαθῶν. Μνήσθητι, Κύριε, ἐν τῷ πλήθει τῶν οἰκτιρμῶν σου καὶ παντὸς τοῦ λαοῦ σου, τῶν συμπαρόντων καὶ συνευχομένων ἡμῖν καὶ πάντων τῶν ἀδελφῶν ἡμῶν, τῶν ἐν γῇ, τῶν ἐν θαλάσσῃ, τῶν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου δεομένων τῆς σῆς φιλανθρωπίας καὶ βοηθείας, καὶ πᾶσι χορήγησον τὸ μέγα σου ἔλεος.



Даруј нам сунце правде, и печатом твога Светога Духа сачувај живот наш беспрекорним. Управи стопе наше на пут мира. Дај нам да у радости угледамо јутро и дан, да бисмо Ти узносили јутарње молитве.
Јер је твоја моћ, и твоје је царство и сила и слава, Оца и Сина и Светога Духа, сада и увек и у векове векова. Амин.

## МОЛИТВА 4

Владару Боже свети и несхватљиви, Ти си рекао светлости да засија из таме; Ти си нас одморио у ноћном сну, и подигао нас на славословље и молитву твојој доброти, - побуђиван својим милосрђем: прими и сада нас који Ти се клањамо и по својој моћи Ти благодаримо, и даруј нам све што иштемо за спасење: учини нас синовима светлости и дана и наследницима вечних добара твојих. У великој доброти својој, помени Господе, и сав народ твој, овде присутне који се моле са нама, и сву браћу нашу која су на земљи, на мору, на сваком месту владавине твоје, којима је потребно твоје човекољубље и помоћ, и свима даруј велику милост твоју, да бисмо, спасени душом и телом, свагда смело славили чудесно и благословено име твоје.
Јер си Бог милости, доброте и човекољубља, и Теби славу узносимо, Оцу и Сину и Светоме Духу, сада и увек и у векове векова. Амин.

Ἵνα, σεσωσμένοι ψυχῇ τε καὶ σώματι πάντοτε διαμένοντες, μετὰ παῤῥησίας δοξάζωμεν τὸ θαυμαστὸν καὶ εὐλογημένον ὄνομά σου, τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ Ε΄

Ἀγαθῶν θησαυρέ, πηγὴ ἀέναος, Πάτερ ἅγιε, θαυμαστοποιέ, παντοδύναμε καὶ παντοκράτορ, πάντες σὲ προσκυνοῦμεν καὶ σοῦ δεόμεθα, τὰ σὰ ἐλέη καὶ τοὺς σοὺς οἰκτιρμοὺς ἐπικαλούμενοι εἰς βοήθειαν καὶ ἀντίληψιν τῆς ἡμετέρας ταπεινώσεως. Μνήσθητι, Κύριε, τῶν σῶν ἱκετῶν· πρόσδεξαι πάντων ἡμῶν τὰς ἑωθινας δεήσεις, ὡς θυμίαμα ἐνώπιον σου, καὶ μηδένα ἡμῶν ἀδόκιμον ποιήσῃς, ἀλλά πάντας ἡμᾶς περιποίησαι διὰ τῶν οἰκτιρμῶν σου. Μνήσθητι, Κύριε, τῶν ἀγρυπνούντων καὶ ψαλλόντων εἰς δόξαν σὴν καὶ τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν καὶ τοῦ ἁγίου σου Πνεύματος. Γενοῦ αὐτῶν βοηθὸς καὶ ἀντιλήπτωρ· πρόσδεξαι αὐτῶν τὰς ἱκεσίας εἰς τὸ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον.

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ ΣΤ΄

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, ὅτι πάντα ποιεῖς εἰς εὐεργεσίαν τῆς ζωῆς ἡμῶν, ἵνα διὰ παντὸς πρὸς σὲ ἀποβλέπωμεν, τὸν σωτῆρα καὶ εὐεργέτην τῶν ἡμετέρων ψυχῶν· ὅτι



МОЛИТВА 5

Ризницо добара, непресушни изворе, Оче свети чудо творни, свемоћни и Сведржитељу, сви се Теби клањамо Теби се молимо, призивајући твоју милост и твоју доброту у помоћ и заштиту нашој смерности: помени, Господе, слуге твоје; прими од свих нас јутарње молитве као кадило пред Тобом, и ниједнога од нас не учини ништавним него нас све снабди добротом твојом. Помени, Господе, оне што бдију и поју у славу твоју и Јединородног Сина твога и Бога нашега, и Светога Духа твога, буди им помоћник и заштитник, прими њихове молитве у наднебески и духовни твој жртвеник.

Јер си Ти Бог наш, и Теби славу узносимо, Оцу и Сину и Светоме Духу, сада и увек и у векове векова. Амин.

МОЛИТВА 6

Благодаримо Ти, Господе Боже спасења наших, јер све чиниш на добробит живота нашега, да свагда гледамо у Тебе, Спаситеља и добротвора душа наших, јер си нас веома одморио током прошле ноћи, и подигао нас са постеља наших, и довео на поклоњење часном имену

διανέπαυσας ἡμᾶς ἐν τῷ παρελθόντι τῆς νυκτὸς μέτρῳ καὶ ἐξήγειρας ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν καὶ ἔστησας εἰς προσκύνησιν τοῦ τιμίου ὀνόματός σου. Διὸ δεόμεθά σου, Κύριε· δὸς ἡμῖν χάριν καὶ δύναμιν, ἵνα καταξιωθῶμεν ψάλλειν σοι συνετῶς καὶ προσεύχεσθαι ἀδιαλείπτως ἐν φόβῳ καὶ τρόμῳ, τὴν ἑαυτῶν σωτηρίαν κατεργαζόμενοι, διὰ τῆς ἀντιλήψεως τοῦ Χριστοῦ σου. Μνήσθητι, Κύριε, καὶ τῶν ἐν νυκτὶ πρὸς σὲ βοώντων· ἐπάκουσον αὐτῶν καὶ ἐλέησον καὶ σύντριψον ὑπὸ τοὺς πόδας αὐτῶν τοὺς ἀοράτους καὶ πολεμίους ἐχθρούς.

Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ Ζ΄

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ἐξαναστήσας ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν καὶ ἐπισυναγαγὼν ἐπὶ τὴν ὥραν τῆς προσευχῆς, δὸς ἡμῖν χάριν ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν καὶ πρόσδεξαι ἡμῶν τὰς κατὰ δύναμιν εὐχαριστίας· καὶ δίδαξον ἡμᾶς τὰ δικαιώματά σου, ὅτι προσεύξασθαι καθ᾽ ὅ δεῖ οὐκ οἴδαμεν, ἐὰν μὴ σύ, Κύριε, τῷ Πνεύματι σου τῷ ἁγίῳ ὁδηγήσῃς ἡμᾶς. Διό, δεόμεθά σου· εἴ τι ἡμάρτομεν μέχρι τῆς παρούσης ὥρας, ἐν λόγῳ ἢ ἔργῳ ἢ κατὰ διάνοιαν, ἑκουσίως ἢ ἀκουσίως, ἄνες, ἄφες, συγχώρησον· ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ἡ ἀπολύτρωσις. Σὺ εἶ μόνος ἅγιος, βοηθός, κραταιὸς ὑπερασπιστὴς τῆς



твоме. Стога Те Господе, молимо: дај нам благодат и силу, да се удостојимо певати Теби разумно и молити се непрестано, у страху и трепету градећи своје спасење за узимањем Христа твога. Помени, Господе, и оне што ноћу вапију Теби, услиши их и помилуј, и сатри под ноге њихове невидљиве и ратоборне непријатеље. Јер си Ти цар мира и Спас душа наших, и Теби славу узносимо, Оцу и Сину и СветомеДуху, сада и увек и у векове векова. Амин.

## МОЛИТВА 7

Боже и Оче Господа нашега Исуса Христа, Ти си нас подигао са постеља наших и сабрао нас у време молитве, дај нам благодат да отворимо уста своја, и прими наша благодарења по моћи нашој, и научи нас наредбама твојим, јер не знамо како треба да се молимо ако нас Ти, Господе, не упутиш Духом твојим Светим. Стога Ти се молимо: ако што до овога часа згрешисмо, речју, или делом, или мишљу, хотимице или нехотице, Ти разреши, отпусти, опрости. Јер ако на безакоња будеш гледао, Господе, Господе, ко ће опстати? Јер је у Тебе избављење; Ти си једини свет, силни помоћник, заштитник живота нашег, и ти си свагдања песма наша.

Нека је благословена и прослављена моћ царства твога, Оца и Сина и Свега Духа, сада и увек и у векове векова. Амин.

ζωῆς ἡμῶν καὶ ἐν σοὶ ἡ ὕμνησις ἡμῶν διαπαντός.
Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ Η'

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν τοῦ ὕπνου ῥαθυμίαν ἀποσκεδάσας ἀφ᾿ ἡμῶν, καὶ συγκαλέσας ἡμᾶς κλήσει ἁγία, τοῦ καὶ ἐν νυκτὶ ἐπᾶραι τὰς χεῖρας ἡμῶν καὶ ἐξομολογεῖσθαι σοι ἐπὶ τὰ κρίματα τῆς δικαιωσύνης σου, πρόσδεξαι τὰς δεήσεις ἡμῶν, τὰς ἐντεύξεις, τὰς ἐξομολογήσεις, τὰς νυκτερινὰς λατρείας· καὶ χάρισαι ἡμῖν, ὁ Θεὸς, πίστιν ἀκαταίσχυντον, ἐλπίδα βεβαίαν, ἀγάπην ἀνυπόκριτον· εὐλόγησον ἡμῶν εἰσόδους καὶ ἐξόδους, πράξεις, ἔργα, λόγους, ἐνθυμήσεις· καὶ δὸς ἡμῖν καταντῆσαι εἰς τὰς ἀρχὰς τῆς ἡμέρας, αἰνοῦντας, ὑμνοῦντας, εὐλογοῦντας τῆς σῆς ἀφράστου χρηστότητος τὴν ἀγαθότητα.
Ὅτι ηὐλόγηταί τὸ πανάγιον σου ὄνομα, καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ Θ'

Λάμψον, Δέσποτα φιλάνθρωπε, ἐν ταῖς καρδίαις ἡμῶν, τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς, καὶ τοὺς τῆς διανοίας ἡμῶν ὀφθαλμοὺς διάνοιξον εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα πάσας τὰς σαρκικὰς ἐπιθυμίας



МОЛИТВА 8

Господе Боже наш, Ти си одагнао дремежну тромост од нас и сазвао нас светим позивом да и ноћу пружамо к Теби руке наше и одајемо Ти хвалу за одлуке правде твоје: прими молбе наше, мољења, исповести, ноћна богослужења; и даруј нам, Боже, веру непостидну, наду поуздану, љубав нелицемерну; благослови наше одласке и доласке, поступке, дела, речи, мисли; и дај нам да достигнемо почетак дана, хвалећи, појући, благосиљајући благост твоје неисказане доброте.
Јер је благословено свесвето име твоје, и прослављено Царство твоје, Оца и Сина и Светога Духа, сада и увек и у векове векова. Амин.

МОЛИТВА 9

Запали у срцима нашим, човекољубиви Владико, непролазну светлост твога богопознања, и отвори очи ума нашег да бисмо разумели твоје еванђелске проповеди. У сади у нас и страх Твојих блажених заповести, да бисмо, победивши све телесне похоте, живели духовним животом, мислећи и творећи све што је Теби угодно.
Јер си Ти просветљење душа и тела наших, Христе

καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σὴν καὶ φρονοῦντες καὶ πράττοντες.
Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ Ι΄

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν διὰ μετανοίας ἄφεσιν τοῖς ἀνθρώποις δωρησάμενος καὶ τύπον ἡμῖν ἐπιγνώσεως ἁμαρτημάτων καὶ ἐξομολογήσεως τὴν τοῦ προφήτου Δαυῒδ μετάνοιαν πρὸς συγχώρησιν ὑποδείξας· αὐτός, Δέσποτα, πολλοῖς ἡμᾶς καὶ μεγάλοις περιπεπτωκότας πλημμελήμασιν, ἐλέησον κατὰ τὸ μέγα σου ἔλεος, καὶ, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὰ ἀνομήματα ἡμῶν· ὅτι σοι ἡμάρτομεν, Κύριε, τῷ καὶ τὰ ἄδηλα καὶ κρύφια τῆς καρδίας τῶν ἀνθρώπων γινώσκοντι καὶ μόνῳ ἔχοντι ἐξουσίαν ἀφιέναι ἁμαρτίας. Καρδίαν δὲ καθαρὰν κτίσας ἐν ἡμῖν καὶ πνεύματι ἡγεμονικῷ στηρίξας ἡμᾶς καὶ την ἀγαλλίασιν τοῦ σωτηρίου σου γνωρίσας ἡμῖν, μὴ ἀποῤῥίψῃς ἡμᾶς ἀπὸ τοῦ προσώπου σου· ἀλλ᾿ εὐδόκησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς προσφέρειν σοι θυσίαν δικαιοσύνης καὶ ἀναφορὰν ἐν τοῖς ἁγίοις σου θυσιαστηρίοις.
Ἐλέει, καὶ οἰκτιρμοίς, καὶ φιλανθρωπία τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾿ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Боже и Теби славу узносимо, са беспочетним твојим Оцем, и пресветим и благим и животворним твојим Духом, сада и увек и у векове векова. Амин.

## МОЛИТВА 10

Господе Боже наш, Ти си људима подарио отпуштење грехова кроз покајање, и показао нам покајање пророка Давида као пример сазнања и исповедања грехова и опроштаја. - Ти сам владико, по великој милости својој помилуј нас пале у многе и велке грехе, и по обиљу доброте твоје очисти безакоња наша, јер Теби сагрешисмо, Господе, Теби који знаш сакривено и тајне срца људског и Једини имаш власт отпуштати грехе; срце чисто саздавши у нама, и Духом владалачким утврдивши нас, и радост спасења твога казавши нам не одбаци нас од лица твога, него као благ и човекољубив дај нам да Ти све до последњег даха свога приносимо жртву правде и принос на светим жртвеницима твојим.
Милошћу и добротом и човекољубљем јединородног Сина твога, са којим си благословен, са свесветим и благим и животворним твојим Духом, сада и увек и у векове векова. Амин.

## ΕΥΧΗ ΙΑ’

Ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν, ὁ τας νοερὰς καὶ λογικὰς ὑποστησάμενος δυνάμεις τῷ σῷ θελήματι, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν, πρόσδεξαι ἡμῶν μετὰ τῶν κτισμάτων σου πάντων τὴν κατὰ δύναμιν δοξολογίαν καὶ ταῖς πλουσίαις τῆς σῆς ἀγαθότητος ἀντάμειψαι δωρεαῖς· ὅτι σοὶ κάμπτει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων καὶ πᾶσα πνοὴ καὶ κτίσις ὑμνεῖ τὴν ἀκατάληπτόν σου δόξαν· μόνος γὰρ εἶ Θεὸς ἀληθινὸς καὶ πολυέλεος.
Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΙΒ’

Αἰνοῦμεν, ὑμνοῦμεν, εὐλογοῦμεν καὶ εὐχαριστοῦμεν σοι, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὅτι παρήγαγες τὴν σκιὰν τῆς νυκτὸς καὶ ἔδειξας ἡμῖν πάλιν τὸ φῶς τῆς ἡμέρας· ἀλλ᾽ ἱκετεύομεν τὴν σὴν ἀγαθότητα· ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν καὶ πρόσδεξαι τὴν δέησιν ἡμῶν ἐν τῇ μεγάλῃ σου εὐσπλαγχνίᾳ, ὅτι πρὸς σὲ καταφεύγομεν, τὸν ἐλεήμονα καὶ παντοδύναμον Θεόν· λάμψον ἐν ταῖς καρδίαις ἡμῶν τὸν ἀληθινὸν ἥλιον τῆς δικαιοσύνης σου· φώτισον τὸν νοῦν ἡμῶν καὶ τὰς αἰσθήσεις ὅλας διατήρησον, ἵνα ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατοῦντες τὴν ὁδὸν τῶν ἐντολῶν σου, καταντήσωμεν εἰς τὴν ζωὴν τὴν αἰώνιον· ὅτι παρὰ σοί ἐστιν ἡ πηγὴ τῆς ζωῆς καὶ ἐν ἀπολαύσει γενέσθαι καταξιωθῶμεν τοῦ ἀπροσίτου φωτός.



## МОЛИТВА 11

Боже, Боже наш, Ти си вољом својом створио Умне и Словесне Силе; Тебе молимо и преклињемо: прими наше свесрдно славословље са свима твојим створењима, и узврати богатим даровима доброте твоје, јер Теби се преклања свако колено оних који су на небу и на земљи и под земљом, и свака твар и створење велича несхватљиву славу твоју, јер си Ти једини Бог истинит и многомилостив.
Јер Тебе славе све Силе Небеске, и Теби славу узносимо, Оцу и Сину и Светоме Духу, сада и увек и у векове векова. Амин.

## МОЛИТВА 12

Славимо, хвалимо, благо сиљамо и благодаримо Теби, Боже отаца наших, што си уклонио таму ноћи н опет нам показао светлост дана. Но преклињемо твоју доброту: очисти ехе наше, и прими мољење наше по великом милосрђу твоме, прибегавамо Теби милостивом и свемоћном Богу; нека сине у срцима нашим истинско сунце правде твоје, просвети ум наш и чувства сва сачувај; да бисмо, као по дану честито ходећи путем заповести твојих, достигли у живот вечни, јер је у Тебе извор живота, и удостојили се наслађивања неприступне светлости твоје.
Јер си Ти Бог наш, и Теби славу узносимо, Оцу и Сину и Светоме Духу, сада и увек и у векове векова. Амин.

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ, ἀσπασάμενος τὴν δεσποτικὴν εἰκόνα, εἰσέρχεται διὰ τῆς νοτίου πύλης ἐν τῷ ἱερῷ βήματι. Πληρωθέντος δὲ τοῦ ἑξαψάλμου, λέγει ὁ Ἱερευς ἐνώπιον τῆς ἁγίας Τραπέζης, τὰ εἰρηνικά·

ΙΕΡΕΥΣ

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ: Κύριε ἐλέησον. [καὶ μετὰ ἀπό κάθε αἴτηση]

Ὑπέρ τῆς ἄνωθεν εἰρήνης, καί τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καί τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ ἁγίου οἴκου τούτου, καί τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ Κλήρου καί τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῆς πόλεως (Μονῆς κώμης) ταύτης, πάσης πόλεως καὶ χώρας καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων,



Онда свештеник, говори велику јектенију:

СВЕШТЕНИК

У миру Господу се помолимо.

ХОР: Господе, помилуј. после сваке прозбе.

За вишњи мир и спасење душа наших, Господу се помолимо.

За мир свега света, за непоколебљивост светих Божјих Цркава, и сједињење свих, Господу се помолимо.

За овај свети храм, и за оне који са вером, побожношћу и страхом Божијим улазе у њега, Господу се помолимо.

За најсветијега Патријарха (или високопреосвештенога Митрополита, или преосвештеног Епископа) нашега (име), за часно презвитерство, у Христу ђаконство, за сав клир и верни народ, Господу се помолимо.

За овај град (или: за ово село; или: за свету обитељ ову), за сваки град, крај и оне који вером живе у њима, Господу се помолимо.

καμνόντων, αἰχμαλώτων καί τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπέρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.
ΧΟΡΟΣ: Σοὶ Κύριε.
ΙΕΡΕΥΣ
Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
ΧΟΡΟΣ: Ἀμήν.

Μετὰ δὲ τὸ Θεὸς Κύριος, καὶ τὴν συμπλήρωσιν τῆς α' στιχολογίας ὁ Ἱερευς λέγει τὴν μικρὰν συναπτὴν·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
ΧΟΡΟΣ: Κύριε, ἐλέησον. [καί μετά ἀπό κάθε αἴτηση]
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.



За благорастворење ваздуха, за изобиље плодова земаљских и времена мирна, Господу се помолимо. За оне који плове, за путнике, болеснике, паћенике и сужње, и за њихово спасење, Господу се помолимо.
Да нас избави од сваке невоље, гњева, опасности и нужде, Господу се помолимо.
Заштити, спаси, помилуј и сачувај нас, Боже, благодаћу твојом.
Поменувши пресвету, пречисту, преблагословену, славну Владичицу нашу Богородицу и Приснодјеву Марију са свима Светима, сами себе и једни друге и сав живот свој Христу Богу предајмо.
ХОР: Теби, Господе.
СВЕШТЕНИК
Јер Теби приличи свака слава, част и поклоњење, Оцу и Сину и Светоме Духу, сада и увек и у векове векова.
ХОР: Амин.

И почиње се певати: "Бог је Господ...", по гласу тропара дана, потом мала јектенија:

Опет и опет у миру Господу се помолимо.
ХОР: Господе, помилуј. после сваке прозбе.
Заштити, спаси, помилуј и сачувај нас, Боже, благодаћу твојом.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ: Σοὶ Κύριε.

ΙΕΡΕΥΣ

Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

Μετὰ τὴν β' στιχολογίας λέγει·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον. [καί μετά ἀπό κάθε αἴτηση]

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ: Σοὶ Κύριε.

ΙΕΡΕΥΣ

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.



Поменувши пресвету, пречисту, преблагословену, славну Владичицу нашу Богородицу и Приснодјеву Марију са свима Светима, сами себе и једни друге и сав живот свој Христу Богу предајмо.

ХОР: Теби, Господе.

СВЕШТЕНИК

Јер је твоја моћ, и твоје је царство и сила и слава, Оца и Сина и Светога Духа, сада и увек и у векове векова.

ХОР: Амин.

И после другог читања:

Опет и опет у миру Господу се помолимо.

ХОР: Господе, помилуј. после сваке прозбе.

Заштити, спаси, помилуј и сачувај нас, Боже, благодаћу твојом.

Поменувши пресвету, пречисту, преблагословену, славну Владичицу нашу Богородицу и Приснодјеву Марију са свима Светима, сами себе и једни друге и сав живот свој Христу Богу предајмо.

ХОР: Теби, Господе.

СВЕШТЕНИК

Јер си благ и човекољубив Бог, и Теби славу узносимо, Оцу и Сину и Светоме Духу, сада и увек и у векове векова.

ХОР: Амин.

Μετὰ δὲ τὸν Ἄμωμον καὶ τὰ Εὐλογητάρια λέγει·
Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
ΧΟΡΟΣ: Κύριε, ἐλέησον. [καί μετά ἀπό κάθε αἴτηση]
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.
ΧΟΡΟΣ: Σοὶ Κύριε.
ΙΕΡΕΥΣ
Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα, καὶ δεδόξασταί σου ἡ Βασιλεία, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
ΧΟΡΟΣ: Ἀμήν.
Ἐν ταῖς Κυριακαῖς λέγεται ἡ Ὑπακοὴ, καί ψάλλονται ἐν συνεχεία οἱ ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Ἐν μνήμαις ἑορταζομένων ἁγίων ψάλλεται τό Α' Ἀντίφωνον τοῦ Δ' ἤχου.
ΔΙΑΚΟΝΟΣ: Τοῦ Κυρίου δεηθῶμεν.
ΧΟΡΟΣ: Κύριε, ἐλέησον.
Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπουμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
ΧΟΡΟΣ: Ἀμήν.



Непорочни и тропари "Благословен јеси Господе", или изабрани псалам, затим мала јектенија:
Опет и опет у миру Господу се помолимо.
ХОР: Господе, помилуј. после сваке прозбе.
Заштити, спаси, помилуј и сачувај нас, Боже, благодаћу твојом.
Поменувши пресвету, пречисту, преблагословену, славну Владичицу нашу Богородицу и Приснодјеву Марију са свима Светима, сами себе и једни друге и сав живот свој Христу Богу предајмо.
ХОР: Теби, Господе.
СВЕШТЕНИК
Јер се благослови име твоје и прослави царство твоје, Оца и Сина и Светога Духа, сада и увек и у векове векова.
ХОР: Амин.

Васкрсни прокимен или празнични.

ЂАКОН: Господу се помолимо.
ХОР: Господе, помилуј.
СВЕШТЕНИК: Јер си свет, Боже наш, и у Светима обитаваш, и Теби славу узносимо, Оцу и Сину и Светоме Духу, сада и увек и у векове векова.
ХОР: Амин.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον (ἐκ γ').

ΔΙΑΚΟΝΟΣ

Καὶ ὑπέρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου...

ΧΟΡΟΣ: Κύριε, ἐλέησον (γ').

ΔΙΑΚΟΝΟΣ

Σοφία. Ὀρθοῖ, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

ΙΕΡΕΥΣ: Εἰρήνη πᾶσι.

ΧΟΡΟΣ: Καὶ τῷ Πνεύματί σου.

ΙΕΡΕΥΣ

Ἐκ τοῦ κατὰ (.....) ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

ΔΙΑΚΟΝΟΣ: Πρόσχωμεν.

ΧΟΡΟΣ: Δόξα σοί, Κύριε, δόξα σοί.

Καὶ ἀναγινώσκει ὁ Ἱερευς τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου.

Μετὰ δὲ τὸ πέρας αὐτοῦ λέγει ὁ χορός·

ΧΟΡΟΣ: Δόξα σοί, Κύριε, δόξα σοί.

Καὶ ὁ Ἀναγνώστης ἀναγινώσκει τόν· Ν' Ψαλμός χύμα. Ἐν ταῖς Κυριακαῖς ἀναγινώσκει τό Ἀνάστασιν Χριστοῦ θεασάμενοι, και μετά ψάλλεται ὁ Ν' Ψαλμός καὶ γίνεται ὁ ἀσπασμός τοῦ Εὐαγγελίου.

Μετά το «Ἀναστὰς ὁ Ἰησοῦς, ἀπὸ τοῦ τάφου...» ἤ τά τῆς ἑορτῆς, λέγει ὁ Διάκονος:

ΔΙΑΚΟΝΟΣ

Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου: ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοίς: ὕψωσον κέρας Χριστιανῶν Ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ᾽ ἡμᾶς τὰ ἐλέη σου



Све што дише нека хвали Господа. [3]

ЂАКОН

И да се удостојимо слушања светог Јеванђеља, Господа Бога молимо.

ХОР: Господе, помилуј. (3)

ЂАКОН

Премудрост! Смерно стојмо! Чујмо свето Јеванђеље.

СВЕШТЕНИК: Мир свима.

ХОР: И духу твоме.

СВЕШТЕНИК

Читање светог Јеванђеља од (име).

ЂАКОН: Пазимо!

ХОР: Слава Теби, Господе, слава Теби.

Свештеник чита Јеванђеље.

После прочитаног Јеванђеља, хор:

Слава Теби, Господе, слава Теби.

Свештеник чита јутрење Јеванђеље, ако је недеља или празник.

Затим: "Васкрсење Христово видевши..." и 50. псалам.

После целивања Јеванђеља, говори ђакон:

ЂАКОН

Спаси, Боже, народ твој, и благослови наслеђе твоје, посети свет твој милошћу и добротом, укрепи моћ Хришћана Православних и ниспошљи нам милости своје богате: молитвама Свепречисте Владичице наше

τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας: δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων, καὶ πανευφήμων Ἀποστόλων. τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, μεγάλων Ἱεραρχῶν, καὶ Οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας: Νικολάου τοῦ ἐν Μύροις τῆς Λυκίας, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, τῶν θαυματουργῶν: τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρου τοῦ Τήρωνος, καὶ Θεοδώρου τοῦ Στρατηλάτου, τῶν ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου: τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, (ναοῦ), τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, (ἡμέρας), καὶ πάντων σου τῶν Ἁγίων; ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον (ιβ')

ΙΕΡΕΥΣ

Ἐλέει, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὐ εὐλογητὸς εἰ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.



Богородице и Приснодјеве Марије, силом часног и животворнога Крста, заступништвом часних Небеских Сила бестелесних, часнога славнога Пророка, Претече и Крститеља Јована, светих славних и свехвалних Апостола, светих Отаца наших и великих васељенских учитеља и светитеља: Василија Великога, Григорија Богослова и Јована Златоустога, светих Отаца наших Атанасија и Кирила, Патријарха александријских, светог Оца нашег Николаја, Архиепископа мирликијскога Чудотворца, светих равноапостолних Методија и Кирила учитеља словенских, светих српских просветитеља и учитеља: Симеона Мироточивог, светитеља: Саве, Арсенија, Максима, Василија Острошког и Петра Цетињског; светих славних и добропобедних Мученика, преподобних и богоносних Отаца наших, светих праведних богоотаца Јоакима и Ане (и светога чији је храм и дан), и свих Светих твојих, молимо Те, многомилостиви Господе, услиши нас грешне који Ти се молимо и помилуј нас.

ХОР: Господе, помилуј. [12]

СВЕШТЕНИК

Милошћу и добротом и човекољубљем јединородног Сина твога, са којим си благословен, са пресветим и благим и животворним твојим Духом, сада и увек и у векове векова.

ΧΟΡΟΣ: Ἀμήν.
Εἶτα, ἀναγινώσκεται ὁ Κανών, ψαλλομένων καὶ τῶν Καταβασιῶν. Εἰς δὲ τὴν γ' ᾠδὴν·
ΔΙΑΚΟΝΟΣ
Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
ΧΟΡΟΣ: Κύριε, ἐλέησον. [καί μετά ἀπό κάθε αἴτηση]
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.
ΧΟΡΟΣ: Σοὶ Κύριε.
ΙΕΡΕΥΣ
Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
ΧΟΡΟΣ: Ἀμήν.
Εἰς δὲ τὴν στ' ᾠδὴν·
ΔΙΑΚΟΝΟΣ
Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
ΧΟΡΟΣ: Κύριε, ἐλέησον. [καί μετά ἀπό κάθε αἴτηση]
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.



ХОР: Амин.
И почињемо каноне. По трећој песми говори ђакон, малу јектенију.
ЂАКОН
Опет и опет у миру Господу се помолимо.
ХОР: Господе, помилуј. после сваке прозбе.
Заштити, спаси, помилуј и сачувај нас, Боже, благодаћу твојом.
Поменувши пресвету, пречисту, преблагословену, славну Владичицу нашу Богородицу и Присноdјеву Марију са свима Светима, сами себе и једни друге и сав живот свој Христу Богу предајмо.
ХОР: Теби, Господе.
СВЕШТЕНИК
Јер си Ти Бог наш, и Теби славу узносимо, Оцу и Сину и Светоме Духу сада и увек и у векове векова.
ХОР: Амин.

Онда сједалан. По шестој песми мала јектенија.
ЂАКОН
Опет и опет у миру Господу се помолимо.
ХОР: Господе, помилуј. после сваке прозбе.
Заштити, спаси, помилуј и сачувај нас, Боже, благодаћу твојом.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ: Σοὶ Κύριε.

ΙΕΡΕΥΣ

Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΧΟΡΟΣ: Ἀμήν.

Καὶ ὁ Ἀναγνώστης τὸ Κοντάκιον, Οἶκον, καὶ Συναξάριον τῆς ἡμέρας.

Ἐν ταῖς μοναῖς, ἡ ζ' και η' ᾠδή τοῦ κανόνος.

Ἐν ταῖς ἐνορίαις, μετὰ τὸ συναξάριον, ὁ χορός ψάλλει ταῖς Καταβασίαις. Ἐν τῇ καταβασίᾳ τῆς η' ᾠδής, προτάσσεται τὸ·

Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ἐν ταῖς ἐνορίαις μετὰ τὴν η' ᾠδήν τῶν καταβασιῶν καὶ ἐν ταῖς μοναῖς μετὰ τὴν η' ᾠδήν τοῦ κανόνος, ἐκφωνεὶ ὁ Διάκονος·

Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ Φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

Καὶ ψάλλεται ἡ Τιμιωτέρα. Καὶ ἡ θ' ᾠδήν τῶν καταβασιῶν ἢ τοῦ κανόνος.

*Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον...*

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ…

Μετὰ δὲ τὴν ἑνάτην ᾠδὴν·



Поменувши пресвету, пречисту, преблагословену, славну Владичицу нашу Богородицу и Приснодјеву Марију са свима Светима, сами себе и једни друге и сав живот свој Христу Богу предајмо.

ХОР: Теби, Господе.

СВЕШТЕНИК

Јер си Ти цар мира и Спас душа наших, и Теби славу узносимо, сада и увек и у векове векова.

ХОР: Амин.

Кондак и икос. И читање из синаксара. По деветој песми, ако није велико славословље, ни предпразништво и попразништво: "Достојно је ваистину..." По том, мала јектенија:

ΔΙΑΚΟΝΟΣ
Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
ΧΟΡΟΣ: Κύριε, ἐλέησον. [καί μετά ἀπό κάθε αἴτηση]
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.
ΧΟΡΟΣ: Σοὶ Κύριε.
ΙΕΡΕΥΣ
Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ Δυνάμεις τῶν οὐρανῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
ΧΟΡΟΣ: Ἀμήν.
Εἶτα ψάλλεται τὰ Ἐξαποστειλάρια, οἱ Αἶνοι καὶ ἡ Δοξολογία.
Ἐν ταῖς μοναῖς ὅπου μετά τὸν Ὄρθρον ἀναγινώσκονται αἱ ὧραι, λέγονται αἱ ἀκόλουθες αἰτήσεις ἐκφώνως.
Ἐν ταῖς ἐνορίαις ὅπου μετὰ τὴν Μεγάλην Δοξολογίαν καὶ τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου ἢ ἐν Κυριακῇ τὸ Ἀναστάσιμον Ἀπολυτίκιον – Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν – αἱ αἰτήσεις σύν τῇ Μεγάλῃ Ἀπολύσει τοῦ Ὄρθρου λέγονται μυστικῶς ἀπὸ τὸν Ἱερέαν καὶ τὸν Διάκονον ὅταν ἄρχεται ἡ Μεγάλη Δοξολογία. Ἐν Κυριακῇ ψάλλεται τό·



ЂАКОН
Опет и опет у миру Господу се помолимо.
ХОР: Господе, помилуј. после сваке прозбе.
Заштити, спаси, помилуј и сачувај нас, Боже, благодаћу твојом.
Поменувши пресвету, пречисту, преблагословену, славну Владичицу нашу Богородицу и Приснодјеву Марију са свима Светима, сами себе и једни друге и сав живот свој Христу Богу предајмо.
ХОР: Теби, Господе.
СВЕШТЕНИК
Јер Тебе хвале све Силе небеске, и Теби славу узносимо, Оцу и Сину и Светоме Духу, сада и увек и у векове векова.
ХОР: Амин.

Онда, ако је недеља: Свет је Господ Бог наш.
Васкрсни ексапостилар и Светога, ако има, и Богородичан.
Хвалитне стихире васкрсне.
Слава, стихира еванђелска.
И сада: "Преблагословена јеси..."
Славословље велико; на крају тропар по обичају.
По том говори ђакон јектенију:

ΔΙΑΚΟΝΟΣ

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν, εἴπωμεν.

ΙΕΡΕΥΣ ἢ ΧΟΡΟΣ: Κύριε, ἐλέησον. (γ') (καί μετά ἀπό κάθε αἴτηση)

ΔΙΑΚΟΝΟΣ

Κύριε, Παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει καὶ ἐνορίᾳ ταύτῃ, (κώμῃ) τῶν ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τῆς ἱερᾶς Ἐκκλησίας ταύτης.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀειμνήστων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας (ἢ Μονῆς) ταύτης καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.



ЂАКОН

Помилуј нас, Боже, по великој милости својој, молимо Ти се услиши и помилуј.

ХОР: Господе, помилуј. Трипут после сваке прозбе.

DEACON

О Свемогући Господе, Боже очева, молимо Те, услиши нас и помилуј.

Помилуј нас, Боже, због Твоје велике доброте. Молимо Те, услиши нас и помилуј.

Још се молимо за најсветијега Патријарха (или високопреосвештенога Митрополита, или преосвештенога Епископа) нашег (име), и за сву у Христу браћу нашу.

Још се молимо за милост, живот, мир, здравље, спасење, похођење, опроштај и отпуштење грехова слугу Божјих, браће овога светога храма (у манастиру: ове свете обитељи).

Још се молимо за блажене и незаборавне свете Патријархе Православне, за благочестиве цареве и благоверне царице, за осниваче овога светога храма (ако је манастир: свете обитељи ове), и за све до сада преминуле Православне оце и браћу нашу који овде почивају, и за Православне свуда.

Још се молимо за оне који плодове доносе и добро творе у светом и свечасном храму овом, за оне који се труде, који певају, и за присутни народ, који очекује од Тебе велику и богату милост.

ΙΕΡΕΥΣ

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ ἢ ΔΙΑΚΟΝΟΣ: Ἀμήν.

ΔΙΑΚΟΝΟΣ

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρά τοῦ Κυρίου, αἰτησώμεθα

ΙΕΡΕΥΣ ἢ ΧΟΡΟΣ: Παράσχου Κύριε. [καί μετά ἀπό κάθε αἴτηση]

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.



СВЕШТЕНИК

Јер си милостив и човекољубив Бог, и Теби славу узносимо, Оцу и Сину и Светоме Духу, сада и увек и у векове векова.

ХОР: Амин.

ЂАКОН

Допунимо јутарњу молитву своју Господу.

Заштити, спаси, помилуј и сачувај нас, Боже, благодаћу твојом.

Сав дан савршен, свет, миран и безгрешан, од Господа молимо.

ХОР: Подај, Господе. После сваке прозбе.

Анђела мира, верног вођу, чувара душа и тела наших, од Господа молимо.

Опроштај и отпуштење грехова и сагрешења наших, од Господа молимо.

Добро и корисно душама нашим, и мир свету, од Господа молимо.

Остало време живота свога у миру и покајању да проведемо, од Господа молимо.

Крај живота нашега да буде хришћански, без бола, непостидан, миран и да добар одговор дамо на Страшном Христовом суду, молимо

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν Ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΙΕΡΕΥΣ ἢ ΧΟΡΟΣ: Σοὶ Κύριε.

ΙΕΡΕΥΣ

Ὅτι Θεὸς ἐλέους, οἰκτιρμῶν, καὶ φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΔΙΑΚΟΝΟΣ ἢ ΧΟΡΟΣ: Ἀμήν.

ΙΕΡΕΥΣ: Εἰρήνη πᾶσι.

ΔΙΑΚΟΝΟΣ

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

ΙΕΡΕΥΣ

Κύριε, Ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, καὶ τῷ παντεφόρῳ σου ὄμματι ἐπιβλέπων ἐπὶ πᾶσαν τὴν κτίσιν, σοὶ ἐκλίναμεν τὸν αὐχένα τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ δεόμεθά σου Ἅγιε Ἁγίων· ἔκτεινον τὴν χεῖρά σου τὴν ἀόρατον ἐξ ἁγίου κατοικητηρίου σου, καὶ εὐλόγησον πάντας ἡμᾶς· καὶ εἴτι ἡμάρτομεν ἑκουσίως ἢ ἀκουσίως, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον, δωρούμενος ἡμῖν τὰ ἐγκόσμια καὶ ὑπερκόσμια ἀγαθά σου.

Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σῴζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΔΙΑΚΟΝΟΣ ἢ ΧΟΡΟΣ: Ἀμήν.



Поменувши пресвету, пречисту, преблагословену, славну Владичицу нашу Богородицу и Приснодјеву Марију са свима Светима, сами себе и једни друге и сав живот свој Христу Богу предајмо.

ХОР: Теби, Господе.

СВЕШТЕНИК

Јер си Бог милости и доброте и човекољубља, и Теби славу узносимо, Оцу и Сину и Светоме Духу, сада и увек и у векове векова.

ХОР: Амин.

СВЕШТЕНИК: Мир свима.

ЂАКОН

Главе своје Господу приклонимо.

СВЕШТЕНИК

Господе Свети, Ти обитаваш на висини и на смерне гледаш, и свевидећим оком својим видиш сву творевину. Теби приклонисмо врат душе и тела и молимо Ти се: Пружи рукуу невидљиву из светог обиталишта свог и благослови све нас; и ако што сагрешисмо, хотимице или нехотице, као благ и човекољубив Бог опрости, дарујући нам земљска и надземаљска добра твоја.

Јер је Теби својствено да нас милујеш и спасаваш, Боже наш, и Теби славу узносимо, Оцу и Сину и Светоме Духу, сада и увек и у векове векова.

ΔΙΑΚΟΝΟΣ: Σοφία

ΙΕΡΕΥΣ:

Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν , πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν .

ΔΙΑΚΟΝΟΣ ἢ ΧΟΡΟΣ:

Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καὶ τῇ πόλει (ἢ τῇ μονῇ, ἢ τῇ κώμῃ) ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.

ΙΕΡΕΥΣ:

Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοι.

ΔΙΑΚΟΝΟΣ ἢ ΧΟΡΟΣ:

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Κύριε ἐλέησον (γ'), Πάτερ ἅγιε, εὐλόγησον.

ΙΕΡΕΥΣ

(Ὁ ἀναστὰς ἐκ νεκρῶν) Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, (τοῦ ἁγίου τοῦ Ναοῦ), τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, (τοῦ ἁγίου τῆς ἡμέρας) οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τὸν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δι᾽ εὐχῶν των ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

ΔΙΑΚΟΝΟΣ ἢ ΧΟΡΟΣ: Ἀμήν.



ХОР: Амин.

ЂАКОН: Премудрост.

СВЕШТЕНИК

Благословен је Христос Бог наш свагда, сада и увек и у векове векова.

ХОР: Амин.

Утврди, Боже, свету православну веру православних хришћана у векове векова. Амин.

СВЕШТЕНИК

Слава Теби, Христе Боже, надо наша, слава Теби.

ХОР:

Слава Оцу и Сину и Светоме Духу, сада и увек и у векове векова. Амин. Господе, помилуј. Трипут , оче благослови.

СВЕШТЕНИК

Васкрсли из мртвих, Христос истинити Бог наш, молитвама пречисте своје Матере, светих славних и свехвалних Апостола (и Светога чији је храм и чији је дан), светих праведних богородитеља Јоакима и Ане, и свих Светих, да нас помилује и спасе као благ и човекољубив.

Молитвама светих Отаца наших, Господе Исусе Христе, Боже наш, помилуј нас.

ХОР: Амин.

У остале седмичне дане, кад није празник, предпразништво и попразништво, и субота, после катизама не узима се јектенија, него се чита 50. псалам и канони. По трећој и шестој песми, и после Достојно.... јектенија мала. После читања малог славословља долази јектенија: Допунимо Јутарњу молитву своју... И стихире на стиховње. После Трисветог и тропара, јектенија: Помилуј нас, Боже..., а по возгласу: Премудрост.

Народ: Благослови.

Свештеник: Благословен је Христос Бог наш ...

Народ: Амин. Утврди, Боже, ...

И чтец чита Први час: Ходите поклонимо се ... и псалме.

На крају возглас: Боже сажали се на нас и благослови нас, просветли лице твоје на нас и помилуј нас.

Народ: Амин.

И молитва:

Христе, Светлости истинита, Ти просвећујеш и освећујеш свакога човека који долази на свет; нека нас озари светлост лица твога, да у њој угледамо неприступну Светлост; упути стопе наше на творење заповести твојих, молитвама пречисте твоје Матере и свих Светих твојих. Амин.

Свештеник: Слава Теби, Христе Боже, надо наша, слава Теби.

Народ: Слава, и сада.

Свештеник чини отпуст:

Христос истинити Бог наш, молитвама пречисте своје Матере, светих славних и свехвалних Апостола (и Светога чији је храм и чији је дан), светих и праведних богородитеља Јоакима и Ане, и свих Светих, да нас помилује и спасе као благ и човекољубив.

Народ: Амин.